A τῶν ἀνθρώπων καὶ εἰς τὸ ἀρχαῖον νόμισμα. ὥσπερ γὰρ τῷ παλαιῷ νομίσματι οὐ χρώμεθα καλῷ ὄντι, ἀλλὰ τῷ καινῷ κακῷ ὄντι, οὕτω καὶ τοῖς ἀρχαίοις ἀνθρώποις οὐ χρώμεθα καλοῖς οὖσι, τοῖς δὲ νῦν στρατηγοῖς κακοῖς οὖσι συγχρώμεθα. Εἴς τε τἀρχαῖον νόμισμα.] τῷ προτέρῳ ἔτει ἐπὶ Ἀντιγένους. ἀλλὰ νικᾷ φησι χρυσοῦν νόμισμα κοπῆναι. καὶ Φιλόχορος ὁμοίως, τὸ ἐκ τῶν χρυσῶν νικῶν. Οὐ κεκιβδηλευμένοις.] ἀντὶ οὐ κακούργοις, οὐ κεκαπηλευμένοις. ἀλλὰ καθαροῖς. τοῖς παλαιοῖς δηλονότι ἀνδράσι. Κεκωδωνισμένοις.] δεδοκιμασμένοις. ἐκλελεγμένοις ἀκριβῶς. B Τοῖς πονηροῖς χαλκίοις.] τοῖς χαλκοῖς κτίσμασι. τοῖς ἀδοκίμοις. καὶ μεμιγμένοις χαλκῷ ὡς ἐπὶ νομισμάτων. χαλκία δὲ ὡς χρυσία ἔλεγον τῷ χήματι, χαλκᾶ σκεύη. νῦν δὲ ὡς κακὸν νόμισμα τὸ χρυσοῦν οὕτως εἶπεν. δύναται ἂν καὶ τὸ χαλκοῦν λέγειν. ἐπὶ γὰρ Καλλίου, χαλκοῦν νόμισμα ἐκόπη. Χθές τε καὶ πρώην.] ἀντὶ τοῦ καινοῖς. ὡς ἐπὶ νομίσματος δὲ τῷ κόμματι. Προσελοῦμεν.] προπηλακίζομεν. ἐλαύνομεν. ἐκβάλλομεν. Καὶ Πυρρίαις.] ἀντὶ τοῦ δούλοις. ὄνομα γὰρ δούλου, ὁ Πυρρίας ἀπό τινος δούλου Πυρρίου. ὡς καὶ Ξανθίας ἀπὸ Ξανθίου τινός. ἂν ὁ μὲν πυρρὸς τὴν κόμην. ὁ δὲ, ξανθός. φαρμακοῖσι δὲ τοῖς λεγομένοις καθάρμασιν. Ἐξ ἀξίου γοῦν τοῦ ξύλου.] παρὰ τὴν παροιμίαν ἐξ ἀξίου γοῦν τοῦ ξύλου κἂν ἀπάγξασθαι. ἐπὶ τῶν ἐθελόντων σεμνῶς δυστυχεῖν. θέλει οὖν λέγειν, ὅτι βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις, ἢ τοῖς φαύλοις. κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ ἢ φαύλου πάσχειν.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
### Σκηνὴ πρώτη.

C

### ΑΙΑΚΟΣ, ΞΑΝΘΙΑΣ.

BISETVS. Αἰακὸς Πλούτωνος οἰκέτης ἐκ τοῦ βασιλείου μετὰ Ξανθίου εἰς τὸ προσκήνιον προέρχεται. Οὗτοι δουλικῶς τῶν δεσποτῶν ἀπόντων κατηγοροῦσι, τὰς δὲ αὐτῶν καλὰς πράξεις, καὶ ἀνδραγαθήματα διηγοῦνται.

Αἰα. Νὴ τὸν Δία τὸν σωτῆρα, γεννάδας ἀνὴρ
Ὁ δεσπότης σου. Ξαν. πῶς γὰρ οὐχὶ γεννάδας
D Ὅς τις γε πίνειν οἶδε καὶ βινεῖν μόνον;
Αἰα. Τὸ δὲ μὴ πατάξαι σ' ἐξελέγξαντ' ἄντικρις
Ὅτι δοῦλος ὢν, ἔφασκες εἶναι δεσπότης;
Ξαν. Ὤιμωζε μέντ' ἄν. Αἰα. τοῦτο μέν τοι δουλικὸν
Εὐθὺς πεποίηκας, ὅπερ ἐγὼ χαίρω ποιῶν.
E Ξαν. Χαίρεις ἱκετεύω. Αἰα. μάλα γ' ἐποπτεύειν δοκῶ,
Ὅταν καταράσωμαι λάθρα τῷ δεσπότῃ.
Ξαν. Τί δὲ, τονθορύζων ἡνίκ' ἂν πληγὰς λαβὼν
Πολλὰς ἀπίῃς θύραζε; Αἰα. καὶ τοῦθ' ἥδομαι.
Ξαν. Τί δὲ πολλὰ πράττων; Αἰα. ὡς μὰ Δί' οὐδὲν οἶδ' ἐγώ.
F Ξαν. Ὁμόγνιε Ζεῦ. καὶ παρακούων δεσποτῶν
Ὅταν λαλῶσι; Αἰα. μάλα γε πλεῖν ἢ μαίνομαι.
Ξαν. Τί δὲ τοῖς θύραζε ταῦτα καταλαλῶν; Αἰα. ἐγὼ

## ACTVS III. SCENA I.

### ÆACVS, XANTHIAS.

*ÆA. NÆ per Iouem seruatorem, vir nobilis*
*Tuus est herus. XAN. quomodo enim non sit (nobilis,*
*Qui scortari, & potare nouit unicè?*
*ÆA. Non autem illum refellisse palam te, & flagris*
*Mulctasse: quòd seruus cùm esses, te diceres*
*Herum? XAN. malè pereas mastigia. ÆA. iam illicò*
*Hoc serui facinus fecisti, quod ego, cùm ago,*
*Lætor. XA. lætaris ne obsecro? ÆA. prætor aliquis*
*Mihi videor, cùm diris clàm deuoueo herum.*
*XAN. Etiámne, cùm multis ab hero acceptis flagris,*
*Forâs exis obmurmurans? ÆA. lætor vtique.*
*XAN. Etiámne cùm es curiosus? ÆA. nil scio per Iouem.*
*XA. Cognate Iupiter, etiam cùm audire te*
*Dissimulas, quando heri loquuntur? ÆA. admodum.*
*Plus quàm insanus. XA. etiam cùm audita eli- (minas?*
*ÆA. Vtique per Iouem: & id cùm ago, sic lætus gestio:*

Σχόλια. Νὴ τὸν Δία τὸν σωτῆρα.] Αἰακὸς ὁ Πλούτωνος οἰκέτης πρὸς τὸν τοῦ Διονύσου Ξανθίαν. κορωνὶς δὲ εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τετράμετροι ἀκατάληκτοι ος. ὧν τελευταῖος ἐσπουδάκωσι. G κλαύμαθ' ἡμῖν γενήσεται. Βινεῖν] συνουσιάζειν. γαμεῖν. ὅτι οἱ κομίζοντες τὴν ἡλικίαν, τὸ συνουσιάζειν, ἀρχὰς ἔχουσι τοῦ βίου. ἄλλοι δὲ παρὰ τὸ βύειν δεδώκασιν. Ἐξελέγξαντ' ἄντικρυς,] γράφεται ἐξελεγχθέντα. λείπει δὲ τὸ θαυμάζω ἢ τοιοῦτόν τι. Ὤιμωζε μέντ' ἄν.] ἀντὶ τοῦ ᾤμωζε, τουτέστιν, ἔφευγον καὶ εἴων αὐτοῦ, οἴμωζε εἰπὼν εἰ ἔτυψέ με. Τοῦτο μέν τοι δουλικόν.] τὸ λοιδορεῖν τοῦ δεσπότην ἀπόντα. Μάλ' ἐποπτεύειν δοκῶ.] Σύμμαχος οὕτως αὐτῇ τῇ λέξει φαίνεται συνεχῶς λέγειν. εὐφημοῦντες τὴν τῶν μυστηρίων ἐποπτείαν. οἱ δὲ τὰ μυστήρια παραλαμβάνοντες, μύσται καλοῦνται. οἱ δὲ παραλαβόντες αὐτὰ, τῷ αὖθις ἐνιαυτῷ ἐφορῶσι τὰ μυστήρια καὶ ἐποπτεύουσι. καὶ ἐποπτεύοντες χαίρουσιν ἐπὶ τῷ πολλὰ πράττειν. ὁ δὲ νοῦς, ὅταν φησὶ λάθρα καταράσωμαι τῷ δεσπότῃ, λίαν οὕτως ἥδομαι, ὡς δοκεῖν μυστήρια ἐποπτεύειν καὶ ἑορτάζειν. τὸ δὲ μάλα εἶπεν, ἀντὶ τοῦ οὐκ ἀλλά. οἵῳ τρόπῳ λέγομεν. οὐχ οἷον ἥδομαι, ἀλλ' ὑπερήδομαι. ἔστι δὲ καὶ ἄλλη γραφὴ μάλα γ' ἐποπτεύειν δοκῶ. ἔτι δὲ καὶ μάλ' ἐποπτεύειν μοι δοκῶ